ἅπαντ᾿—ἀπέσταλκ᾿ αὐτὸν αὐτόθεν τινὰ
μισθωσόμενον μάγειρον. ἐρρῶσθαι δὲ τῆι
θυσίαι φράσας ἥκω πάλιν πρὸς τἀνθάδε.
καί μοι δοκῶ τοὺς περιπάτους τούτους ἀφεὶς
αὐτὸς διαλέξεσθ᾿ ὑπὲρ ἐμαυτοῦ. τὴν θύραν
κόψω δ᾿, ἵν᾿ ἧι μοι μηδὲ βουλεύσασθ᾿ ἔτι.

Γο. μειράκιον, ἐθελήσαις ἂν ὑπομεῖναι λόγον
σπουδαιότερόν μου;

(Σω.) καὶ μάλ᾿ ἡδέως· λέγε.

(Γο.) εἶναι νομίζω πᾶσιν ἀνθρώποις ἐγὼ
τοῖς τ᾿ εὐτυχοῦσιν τοῖς τε πράττουσιν κακῶς
πέρας τι τούτου καὶ μεταλλαγήν τινα,
καὶ τῶι μὲν εὐτυχοῦντι μέχρι τούτου μένειν
τὰ πράγματ᾿ εὐθενοῦντ᾿ ἀεὶ τὰ τοῦ βίου
ὅσον ἂν χρόνον φέρειν δύνηται τὴν τύχην
μηδὲν ποήσας ἄδικον· εἰς δὲ τοῦθ᾿ ὅταν
ἔλθηι προαχθεὶς τοῖς ἀγαθοῖς, ἐνταῦθά που
τὴν μεταβολὴν τὴν εἰς τὸ χεῖρον λαμβάνει·
τοῖς δ᾿ ἐνδεῶς πράττουσιν, ἂν μηδὲν κακὸν
ποιῶσιν ἀποροῦντες, φέρωσιν δ᾿ εὐγενῶς
τὸν δαίμον᾿, εἰς πίστιν ποτ᾿ ἐλθόντας χρόνωι,
βελτίον᾿ εἶναι μερίδα προσδοκᾶν τινα.
τί οὖν λέγω; μήτ᾿ αὐτός, εἰ σφόδρ᾿ εὐπορεῖς,
πίστευε τούτωι, μήτε τῶν πτωχῶν πάλιν
ἡμῶν καταφρόνει· τοῦ διευτυχεῖν δ᾿ ἀεὶ
πάρεχε σεαυτὸν τοῖς ὁρῶσιν ἄξιον.

Σω. ἄτοπον δέ σοι τι φαίνομαι νυνὶ ποεῖν;

(Γο.) ἔργον δοκεῖς μοι φαῦλον ἐζηλωκέναι,
πείσειν νομίζων ἐξαμαρτεῖν παρθένον
ἐλευθέραν, ἢ καιρὸν ἐπιτηρῶν τινα
κατεργάσασθαι πρᾶγμα θανάτων ἄξιον